eul_wid: hus-aa

*Τιμώναξ* · Timonax

# Fragments on Scythian Geography

*Ἀποσπάσματα περὶ τῆς Σκυθικῆς Γεωγραφίας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-3 ΣΚΥΘΙΚΑ.

t1-2 E LIBRO PRIMO.

**Schol. Apollon. Rh. IV: [ Οἱ περὶ Λαύριο ν ] Λαύριον πεδίον τῆς Σκυθίας. Τῆς δὲ Σκυθίας ἔθνη πεντήκοντα Τιμῶναξ ἀναγράφει ἐν πρώτῳ Περὶ Σκυθῶν. Κατὰ δὲ τὸ τῶν Σίν δων πεδίον σχίζεται ὁ ποταμὸς Ἴστρος, καὶ τὸ μὲν αὐτοῦ ῥεῦμα εἰς τὸν Ἀδρίαν, τὸ δὲ εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλει ... Καὶ Ἱππῶναξ δὲ μνημονεύει· «Πρὸς τὸ Σινδικὸν διάσφαγμα.» Idem IV, 1217: Τιμῶναξ ἐν πρώτῳ τῶν Σικελικῶν (scr. Σκυθικῶν) ἐν Κόλχοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι, Αἰήτου αὐτῷ ἐγγυήσαντος. Ὁ δὲ αὐτός φησι· «Δείκνυνται παρὰ τὸν παράπλουν ἔνδον τοῦ Πόντου κῆποί τινες Ἰασόνιοι καλούμενοι, καθ’ ὧν τὴν ἀπόβασιν ἐποιήσατο· καὶ κατὰ τὴν Αἶαν γυμνάσια καὶ δίσκοι, καὶ τῆς Μηδείας θάλαμος, καθ’ ὃν τότε ἐνυμφεύθη· καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένον Ἰάσονος, καὶ πρὸς τούτοις ἱερὰ πολλά.» E LIBRO SECUNDO.**

3 Idem III, 1236: Ὁ Ἄψυρτος καὶ Φαέθων ἐκα λεῖτο, ὥς φησι Τιμῶναξ ἐν δευτέρῳ Σκυθικῶν.